*καὶ πρός τι πάντα ποιεῖν ὀρθῶς λέγουσιν, οὐκ ἐπὶ ψιλῷ
τῷ πάσχον τι αἰσθάνεσθαι τὸ ζῷον αἰσθητικὸν ἐποίησεν·
ἀλλ' ὄντων μὲν οἰκείων πρὸς αὐτὸ πολλῶν ὄντων δ' ἀλλο-
τρίων, οὐδ' ἀκαρὲς ἦν περιεῖναι μὴ μαθόντι τὰ μὲν φυ-
λάττεσθαι τοῖς δὲ συμφέρεσθαι. τὴν μὲν οὖν γνῶσιν
ἀμφοῖν ὁμοίως ἡ αἴσθησις ἑκάστῳ παρέχει· τὰς δ' ἑπο-
μένας τῇ αἰσθήσει τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις,
διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν
οὐδεμία μηχανὴ ⟨παρεῖναι⟩ τοῖς μὴ λογίζεσθαί τι καὶ*
F *κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν· ἀλλ'
ὧν ἂν ἀφέλῃς παντάπασι προσδοκίαν μνήμην πρόθεσιν
παρασκευὴν τὸ ἐλπίζειν τὸ δεδοικέναι τὸ ἐπιθυμεῖν τὸ
ἀσχάλλειν, οὔτ' ὀμμάτων ὄφελος οὐδὲν αὐτοῖς παρόντων
οὔτ' ὤτων· αἰσθήσεώς τε πάσης καὶ φαντασίας τὸ χρώ-
μενον οὐκ ἐχούσης ἀπηλλάχθαι βέλτιον ἢ πονεῖν καὶ λυ-*
**961** *πεῖσθαι καὶ ἀλγεῖν, | ᾧ διακρούσεται ταῦτα μὴ παρόν-
τος. καίτοι Στράτωνός γε τοῦ φυσικοῦ λόγος ἐστὶν
ἀποδεικνύων ὡς οὐδ' αἰσθάνεσθαι τὸ παράπαν ἄνευ τοῦ
νοεῖν ὑπάρχει· καὶ γὰρ γράμματα πολλάκις ἐπιπορευο-
μένους τῇ ὄψει καὶ λόγοι προσπίπτοντες τῇ ἀκοῇ διαλαν-
θάνουσιν ἡμᾶς καὶ διαφεύγουσι πρὸς ἑτέροις τὸν νοῦν
ἔχοντας· εἶτ' αὖθις ἐπανῆλθε καὶ μεταθεῖ καὶ διώκει τῶν
προϊεμένων ἕκαστον ἀναλεγόμενος· ᾗ καὶ λέλεκται* (Epich. fr. 249)

*'νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, τἆλλα κωφὰ καὶ τυφλά',*